eul_wid: fpa-aa

*Εὔβουλος ὁ κωμικός* · Eubulus the Comic Poet

# Fragments on Feasts and Festivals

*Ἀποσπάσματα περὶ Ἑορτῶν καὶ Ἑορτασμῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1-2-3.1 καὶ γὰρ πάλαι πέττει τὰ νικητήρια.[ln_1]. . . . . . . . . . . . ἐξεπήδησ’ ἀρτίως πέττουσα τὸν

book 1-2-3.2 χαρίσιον.[ln_2]. . . . . . . . . . . . εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ’ ὅλην ἐν τῇ δεκάτῃ τοῦ παιδίου

book 1-2-3.3 χορεύσετε.[ln_5]θήσω δὲ νικητήριον

book 1-2-3.4 τρεῖς

book 1-2-3.5 ταινίας καὶ μῆλα πέντε καὶ φιλήματ’ ἐννέα.

book 4.1 ὀπτήσιμον γογγυλίδα

book 4.2 ταυτηνὶ φέρω.

book 6 Παλλάδας

book 7.1 θερμότερον ἢ κραυρότερον ἢ μέσως ἔχον, τοῦτ’ ἔσθ’ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν. κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ οὐδ’ ἱεροσύλοις καὶ πικραῖς

book 7.2 παροψίσι[ln_5]βολβοῖς τ’ ἐμαυτὸν

book 7.3 χορτάσων ἐλήλυθα. ἃ δ’ εἴς τ’ ἐδωδὴν

book 7.4 πρῶτα καὶ ῥώμης ἀκμὴν καὶ πρὸς ὑγίειαν, πάντα

book 7.5 ταῦτ’ ἐδαινύμην, κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα, ἀκροκώλιόν

book 7.6 τε γεννικόν, ὀπτὰ δελφάκια[ln_10]ἁλίπαστα

book 7.7 τρία.

book 8.1 καὶ πρός γε

book 8.2 τούτοις ἀσκὸν εἰς μέσον καταθέντες εἰσάλλεσθε καὶ καχάζετε ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.

book 9.1 ἕτεροι δὲ θεοῖσι

book 9.2 συμπεπλεγμένοι μετὰ Καράβου σύνεισιν, ὃς μόνος βροτῶν δύναται καταπιεῖν ἐκ ζεόντων λοπαδίων ἄθρους

book 9.3 τεμαχίτας, ὥστ’ ἐνεῖναι μηδὲ ἕν.

book 10.1 Ζῆθον μὲν ἐλθόνθ’ ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους

book 10.2

πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ· ὁ δ’ ὀξύπεινος· τὸν δὲ μουσικώτατον[ln_5]κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα, οὗ ῥᾷστ’ ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι κάπτοντες αὔρας ἐλπίδας

book 10.3 σιτούμενοι.

book 11.1 [spk_β]Καλλίστρατός τίς ἐστιν .... οὗτος οὖν

book 11.2 πυγὴν μεγάλην εἶχ’, ὦ Χαριάδη, καὶ καλήν. Β. τοῦτον καταλεκτέ’ ἐστὶν ἐς

book 11.3 τοὺς κόλλοπας

book 11.4 τοὺς ἐκδρομάδας.

book 12 πώνειν μὲν ἁμὲς καὶ φαγεῖν μέγ’ ἀνδρικοὶ καὶ καρτερεῖμεν, τοῖς δ’ Ἀθηναίοις λέγειν καὶ μικρὰ φαγέμεν, τοὶ δὲ Θηβαῖοι μέγα.

book 13 περὶ πρώτους ὕπνους

book 14.1 μὴ παρατίθει μοι θριδακίνας, ὦ γύναι, ἐπὶ τὴν

book 14.2 τράπεζαν, ἢ σεαυτὴν αἰτιῶ. ἐν τῷ λαχάνῳ τούτῳ γάρ, ὡς ὁ λόγος, ποτὲ τὸν Ἄδωνιν ἀποθανόντα

book 14.3 προὔθηκεν Κύπρις·[ln_5]ὥστ’ ἐστὶ νεκύων βρῶμα.

book 15.1 τί, ὦ πόνηρ’, ἕστηκας ἐν πύλαις ἔτι, ἀλλ’ οὐ βαδίζεις; τοῖς δὲ γενναίως πάλαι διεσπάρακται θερμὰ χηνίσκων μέλη, διερράχισται

book 15.2 σεμνὰ δελφάκων κρέα,[ln_5]κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος, κατῃσίμωται πάντα τἀκροκώλια, νενωγάλισται

book 15.3 σεμνὸς ἀλλᾶντος τόμος, παρεντέτρωκται

book 15.4 τευθὶς ἐξωπτημένη, παρεγκέκαπται κρανί’ ἐννέ’ ἢ δέκα.[ln_10]ὥστ’ εἴ τι βούλει τῶν λελειμμένων

book 15.5 φαγεῖν, ἔπειγ’ ἔπειγε, μή ποθ’ ὡς λύκος

book 15.6 χανὼν καὶ τῶνδ’ ἁμαρτὼν ὕστερον

book 15.7 συχνὸν δράμῃς.

book 16.1 τίς ἂν λάβοιτο

book 16.2 τοῦ σκέλους κάτωθέ μοι; ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.

book 17.1 ὕπνος αὐτὸν ὄντα κακόσιτον

book 17.2 τρέφει.

book 18 δίπυρον

book 19.1 καὶ νᾶπυ Κύπριον καὶ σκαμωνίας ὀπόν, καὶ κάρδαμον Μιλήσιον καὶ κρόμμυον

book 19.2 Σαμοθρᾴκιον, καὶ καυλὸν ἐκ Καρχηδόνος, καὶ σίλφιον θύμον

book 19.3 τε τῶν Ὑμηττίων,[ln_5]ὀρίγανόν

book 19.4 τε

book 19.5 Τενέδιον.

book 20.1 ἡμεῖς

book 20.2 ποτ’ ἄνδρας Κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα καὶ σιτί’ ἐπὶ μύρμηκας ἡμερῶν

book 20.3 τριῶν, ὡς

book 20.4 χρυσοτεύκτου ψήγματος

book 20.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεφηνότος.

book 21 ἐθέλει δ’ ἄνευ μισθοῦ παρ’ αὐτοῖς καταμένειν ἐπισίτιος.

book 23 μήχι

book 24 ἠπάτια, νῆστις, πλεύμονες, μήτρα

book 25.1 ἀλλ’ ἔστι

book 25.2 τοῖς

book 25.3 σεμνοῖς μὲν αὐθαδέστερος, καὶ τοῖς κόλαξι πᾶσι

book 25.4 τοῖς

book 25.5 σκώπτουσί τε ἑαυτὸν εὐόργητος· ἡγεῖται δὲ δὴ τούτους μόνους ἐλευθέρους, κἂν δοῦλος ᾖ.

book 26-27.1 Εὐριπίδου δ’ ἔσωσας ὡς ἴσασί σοι—[ln_1]. . . . . . . . . . . . [ὦ παρθέν’ εἰ σώσαιμί ς’, ἕξεις μοι χάριν;] [ln_2]. . . . . . . . . . . . . καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασιν τὰ σῖγμα

book 26-27.2 συλλέξαντες, ὡς αὐτοὶ σοφοί.

book 28.1 χαἰ Προκλέους ἵπποι

book 28.2 χλωρὰν

book 28.3 ψαλάκανθαν ἔδουσιν.

book 29 κωφότερος κίχλης

book 30 ἐγὼ κεχόρτασμαι μέν, ἄνδρες, οὐ κακῶς, ἀλλ’ εἰμὶ πλήρης, ὥστε καὶ μόλις πάνυ ὑπεδησάμην ἅπαντα δρῶν τὰς ἐμβάδας.

book 31.1 διένιψα δ’ οὐδὲν

book 31.2 σκεῦος οὐδεπώποτε· καθαρώτερον γὰρ τὸν κέραμον εἰργαζόμην ἢ Θηρικλῆς τὰς κύλικας, ἡνίκ’ ἦν νέος.

book 32.1 πρὸς

book 32.2 φθεῖρα κείρασθαι

book 34 κτίζε Βοιωτῶν πόλιν ἀνδρῶν ἀρίστων ἐσθίειν δι’ ἡμέρας.

book 35.1 νύμφα ἀπειρόγαμος

book 35.2 τεύτλῳ περὶ σῶμα καλυπτὰ λευκόχρως

book 35.3 παρέσται, ἔγχελυς, ὦ μέγα μοι, μέγα

book 35.4 σοι φῶς . . ἐναργές.

book 36.1 ἐν

book 36.2 ταῖς γεννικαῖς εὐωχίαις ἀμύλων

book 36.3 παρόντων ἐσθίους’ ἑκάστοτε ἄνηθα καὶ σέλινα καὶ φλυαρίας καὶ κάρδαμ’ ἐσκευασμένα.

book 37.1 μετὰ ταῦτα θύννων μεγαλόπλουτ’ ἐπεισέπλει ὑπογάστρι’ ὀπτῶν, αἵ τε λιμνοσώματοι Βοιώτιαι

book 37.2 παρῆσαν ἐγχέλεις θεαὶ τεῦτλ’ ἀμπεχόμεναι.

book 38.1 τρύβλια δὲ καὶ βατάνια καὶ κακκάβια καὶ λοπάδια καὶ πατάνια

book 38.2 πυκινὰ ταρφέα κοὐδ’ ἂν λέγων λέξαιμι.

book 39.1 οὕτω

book 39.2 σφόδρ’ ἐστὶ τοὺς

book 39.3 τρόπους Βοιώτιος, ὥστ’ οὐδὲ δειπνῶν, ὡς λέγους’, ἐμπίμπλαται.

book 41.1 τίς ἦν ὁ γράψας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 41.2 πρῶτος ἀνθρώπων ἄρα ἢ κηροπλαστήσας Ἔρωθ’ ὑπόπτερον; ὡς οὐδὲν ᾔδει

book 41.3 πλὴν

book 41.4 χελιδόνας γράφειν, ἀλλ’ ἦν ἄπειρος τῶν

book 41.5 τρόπων τῶν

book 41.6 τοῦ θεοῦ.[ln_5]ἔστιν γὰρ οὔτε κοῦφος, οὔτε ῥᾴδιος ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον, βαρὺς δὲ κομιδῆ πῶς ἂν οὖν ἔχοι

book 41.7 πτερὰ τοιοῦτο

book 41.8 πρᾶγμα; λῆρος, εἰ κἄφησέ τις.

book 42.1 ὡς δ’ ἐδείπνει κοσμίως, οὐχ ὥσπερ ἄλλαι τῶν

book 42.2 πράσων

book 42.3 ποιούμεναι

book 42.4 τολύπας ἔσαττον τὰς γνάθους καὶ τῶν κρεῶν ἀπέβρυκον αἰσχρῶς, ἀλλ’ ἑκάστου μικρὸν ἂν[ln_5]ἀπεγεύεθ’ ὥσπερ

book 42.5 παρθένος Μιλησία.

book 43.1 ὦ γαῖα κεραμί, τίς

book 43.2 σε Θηρικλῆς

book 43.3 ποτε ἔτευξε κοίλης λαγόνος εὐρύνας βάθος; ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν, ὡς οὐχὶ μικροῖς ἥδεται

book 43.4 ποτηρίοις.

book 44.1 τήν τ’ εὐπρόσωπον λοπάδα

book 44.2 τοῦδε

book 44.3 τοῦ θαλαττίου γλαύκου φέρουσαν εὐγενέστερον λάβρακά θ’ ἑφθὸν . . . ἅλμῃ μίαν.

book 45.1 [spk_β]τραγημάτων δ’ ἔσθ’ ἡ τράπεζά σοι

book 45.2 πλέα. Β. οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.

book 46 ἀνιακκάς, περιμανώς, μανέρως

book 47.1 καὶ πνικτὰ Σικελὰ πατανίων

book 47.2 σωρεύματα

book 48 ἀλλ’ εἰσὶ φιάλαι πέντε, τραγέλαφοι δύο.

book 49.1 ἀλλὰ παραλαβὼν ἀκράτῳ κροῦε καὶ δίδου

book 49.2 πυκνὰς καὶ βότρυς

book 49.3 τρώγειν ἀνάγκαζ’ αὐτὸν ἐξ οἴνου

book 49.4 συχνούς.

book 51 διατοιχεῖν ἔδει

book 52 τροποῦσθαι κώπην

book 53.1 μετὰ ταῦτα Θήβας ἦλθον, οὗ τὴν νύχθ’ ὅλην τήν θ’ ἡμέραν δειπνοῦσι καὶ κοπρῶν’ ἔχει ἐπὶ ταῖς θύραις ἕκαστος, οὗ πλήρει βροτῷ οὐκ ἔστι μεῖζον ἀγαθόν· ὡς

book 53.2 χεζητιῶν[ln_5]μακρὰν βαδίζων, πολλὰ δ’ ἰδίων ἀνήρ, δάκνων τὰ χείλη, παγγέλοιός ἐστ’ ἰδεῖν.

book 54.1 Κόρινθον ἦλθον· ἡδέως ἐνταῦθά πως λάχανόν

book 54.2 τι τρώγων ὤκιμον διεφθάρην. κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 55.1 ἴθι δεῦρ’ ἀφελοῦ τ’ ὦ λάγνα

book 55.2 ταχὺ τὰ ποικίλα.

book 56.1 ἄρτι μὲν μάλ’ ἀνδρικὴν τῶν θηρικλείων ὑπεραφρίζουσαν

book 56.2 παρά, κωθωνόχειλον, ψηφοπεριβομβήτριαν, μέλαιναν, εὐκύκλωτον, ὀξυπύνδακα, [ln_5]στίλβουσαν, ἀνταυγοῦσαν, ἐκνενιμμένην, κισσῷ κάρα βρύουσαν, ἐπικαλούμενοι εἷλκον Διὸς

book 56.3 σωτῆρος.

book 57 κεντρωτός, ἱερός, ἅρμ’ ὑπερβάλλον πόδας, κήρυνος, εὐδαίμων, κυνῶτες, ἄρτια, Λάκωνες, ἀντίτευχος, Ἀργεῖος, δάκνων, Τιμόκριτος, ἐλλείπων, πυαλίτης, ἐπίθετος,[ln_5]σφάλλων, ἀγύρτης, οἶστρος, ἀνακάμπτων, δορεύς, λάμπων, Κύκλωπες, ἐπιφέρων, Σόλων, Σίμων.

book 60.1 ἀλλ’ ἠκούσαμεν καὶ τοῦτο, νὴ τὴν Ἑστίαν, οἴκοι

book 60.2 ποθ’ ὡς ὅς’ ἂν ὁ μάγειρος ἐξαμάρτῃ, τύπτεται, ὥς

book 60.3 φασιν, αὐλητὴς

book 60.4 παρ’ ὑμῖν.

book 61.1 οὐκ ᾤου σύ με

book 61.2 χολὴν ἔχειν, ὡς δ’ ἠπάτῳ μοι διελέγου, ἐγὼ δέ γ’ εἰμὶ τῶν μελαμπύγων ἔτι.

book 62 ὡσπερεὶ σπονδὴν διδοὺς ἐν τῷ κυλικείῳ συντέτριφεν τὰ ποτήρια.

book 63.1 πρὸς

book 63.2 τούτοισιν δὲ παρέσται

book 63.3 σοι θύννου τέμαχος, κρέα δελφακίων, χορδαί τ’ ἐρίφων, ἧπάρ

book 63.4 τε κάπρου, κριοῦ τ’ ὄρχεις, χόλικές

book 63.5 τε βοός,[ln_5]κρανία τ’ ἀρνῶν, νῆστίς τ’ ἐρίφου, γαστήρ

book 63.6 τε λαγώ, φύσκη, χορδή, πνεύμων, ἀλλᾶς

book 63.7 τε.

book 64.1 τεῦτλ’ ἀμπεχομένης

book 64.2 παρθένου Βοιωτίας Κωπᾷδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

book 65.1 καὶ πιεῖν

book 65.2 χωρὶς μέτρῳ ὀξύβαφον εἰς τὸ κοινόν. εἶθ’ ὑπώμνυτο ὁ μὲν οἶνος ὄξος αὑτὸν εἶναι γνήσιον, τὸ δ’ ὄξος οἶνον αὑτὸ μᾶλλον θατέρου.

book 66.1 σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπών, ἀνδρῶν ἀρίστων ἐσθίειν δι’ ἡμέρας ὅλης

book 66.2 τραχήλους καὶ κοπρῶνος

book 66.3 πλησίον—

book 67.1 ὅστις λέχη γὰρ

book 67.2 σκότια νυμφεύει λάθρᾳ, πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος; ἐξὸν θεωρήσαντι

book 67.3 πρὸς τὸν ἥλιον γυμνὰς ἐφεξῆς ἐπὶ κέρως

book 67.4 τεταγμένας,[ln_5]ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας, μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν, καὶ μὴ λαθραίαν κύπριν, αἰσχίστην νόσων

book 67.5 πασῶν, διώκειν, ὕβρεος οὐ πόθου χάριν.[ln_10]Ἑλλάδος ἔγωγε τῆς

book 67.6 ταλαιπώρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 67.7 στένω, ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

book 68.1 ὃς νῦν

book 68.2 τετάρτην ἡμέραν βαπτίζεται νῆστιν

book 68.3 πονήρου κεστρέως

book 68.4 τρίβων βίον.

book 69.1 [spk_β]μισῶ κάκιστον γραμματικὸν ἔκπωμ’ ἀεί· ἀτὰρ ὡς ὅμοιον ούμὸς υἱὸς ᾤχετο ἔχων

book 69.2 φιάλιον τῷδε. Β. πολλὰ γίνεται ὅμοια.

book 70 τί ποτ’ ἔσθ’ ἁπαξάπαντα διαπεπρισμένα ἡμίσε’ ἀκριβῶς ὡσπερεὶ τὰ σύμβολα;

book 71.1 ὁ δ’ ἱερεὺς εὐηγορῶν ἐν μέσοις αὐτοῖσιν ἑστὼς τὴν καλὴν

book 71.2 σκευὴν ἔχων οἶνον ἐξέσπενδε κοτύλῳ.

book 72.1 ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν ἀνὴρ δημοτικὸς ἦν

book 72.2 τις, ὡς ἔοικε, τοὺς

book 72.3 τρόπους. ὅστις δ’ ἐπὶ δεῖπνον ἢ φίλον

book 72.4 τιν’ ἢ ξένον καλέσας ἔπειτα

book 72.5 συμβολὰς ἐπράξατο,[ln_5]φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.

book 73.1 περιφοραῖς κυκλούμενος, ὥσπερ κυλιστὸς

book 73.2 στέφανος

book 74.1 [spk_β]ἐν τῷ γὰρ αὐτῷ πάνθ’ ὁμοῦ πωλήσεται ἐν

book 74.2 ταῖς Ἀθήναις· σῦκα— Β. κλητῆρες Α. βότρυς, γογγυλίδες, ἄπιοι, μῆλα— Β. μάρτυρες Α. ῥόδα, μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι— Β. δίκαι

book 74 [ln_5][spk_α]Α. πυός, πυριάτη, μύρτα— Β. κληρωτήρια Α. ὑάκινθος, ἄρνες— Β. κλεψύδραι, νόμοι, γραφαί.

book 75.1 πᾶσα δ’ εὔμορφος γυνὴ ἐρῶσα

book 75.2 φοιτᾷ τηγάνων

book 75.3 τε σύντροφα

book 75.4 τριβαλλοπανόθρεπτα μειρακύλλια· ὁμοῦ δὲ τευθὶς καὶ Φαληρικὴ κόρη[ln_5]σπλάγχνοισιν ἀρνείοισι

book 75.5 συμμεμιγμένη

book 75.6 πηδᾷ, χορεύει, πῶλος ὣς ἄπο ζυγοῦ. ῥιπὶς δ’ ἐγείρει

book 75.7 σκύλακας Ἡφαίστου κύνας, θερμῇ παροξύνουσα

book 75.8 τηγάνου

book 75.9 πνοῇ. ὀσμὴ δὲ πρὸς μυκτῆρας ἠρεθισμένη[ln_10]ᾄσσει. μεμαγμένη δὲ Δήμητρος κόρη κοίλην φάραγγα δακτύλου

book 75.10 πιέσματι σύρει, τριήρους ἐμβολὰς μιμουμένη, δείπνου

book 75.11 πρόδρομον ἄριστον.

book 76 ὡς εὖ νεναυάγηκεν ἐπὶ τοῦ τηγάνου ὁ θεοῖσιν ἐχθρός.

book 77.1 δεινὸν μὲν ἰδόντα

book 77.2 παριππεῦσαι Κυπρίους ἄρτους· μαγνῆτις γὰρ λίθος ὣς ἕλκει

book 77.3 τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 77.4 πεινῶντας.

book 78 καρῖδα καθῆκα κάτω κἀνέσπας' αὖθις.

book 79 τοῦ κυάθου

book 80-81-82.1 ἐγὼ δέ, καὶ γὰρ ἔτυχεν ὂν κατ' ἀντικρὺ τῆς οἰκίας καινὸν καπηλεῖον μέγα, ἐνταῦθ' ἐπετήρουν τὴν

book 80-81-82.2 τροφὸν τῆς

book 80-81-82.3 παρθένου κεράσαι κελεύσας τὸν κάπηλόν μοι χόα[ln_5]ὀβολοῦ, παραθεῖναί θ' ὡς μέγιστον κάνθαρον[ln_5]. . . . . . . . . . . . . . ὁ δὲ κάνθαρος πάλαι κενὸς ὡς ξηραίνεται[ln_6]. . . . . . . . . . . . . .

book 80-81-82.1 ἅμα δὲ λαβοῦς' ἠφάνικε

book 80-81-82.2 πηλίκον

book 80-81-82.3 τινὰ οἴεσθε μέγεθος ἀρεσιαν; μέγαν πάνυ, καὶ ξηρὸν ἐποίης' εὐθέως τὸν κάνθαρον.

book 83.1 πρῶτον μὲν αὐτοῦ παραλαβὼν τὼ χαλκίω τὸν ἰὸν ἐκ τῆς

book 83.2 χειρὸς ἐξεσπόγγισεν.

book 84.1 ἢ τὰς

book 84.2 φιλῳδοὺς κερμάτων

book 84.3 παλευτρίας οὐκ οἶσθα, πώλους Κύπριδος ἐξησκημένας, γυμνάς, ἐφεξῆς ἐπὶ κέρως

book 84.4 τεταγμένας, ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας[ln_5]'Ηριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας· παρ' ὧν βεβαίως ἀσφαλῶς τ' ἔξεστί σοι μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

book 85 ἀπὸ τῶν ἐκείνου καὶ τὰ κυντατώτατα

book 86 τετορύνηκας

book 87 μετοίκιον

book 88.1 τρέφει με Θετταλός

book 88.2 τις, ἄνθρωπος βαρύς, πλουτῶν, φιλάργυρος δὲ κἀλιτήριος, ὀψοφάγος, ὀψωνῶν δὲ μέχρι

book 88.3 τριωβόλου.

book 89.1 οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον

book 89.2 τινά· παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον ἔψουσαν αὐτὴν καταλαβὼν γηθυλλίδας.

book 90.1 [spk_β]οὔκουν ὑποστορεῖτε μαλακῶς τῷ κυνί; κάτω μὲν ὑποβαλεῖτε τῶν Μιλησίων ἐρίων, ἄνωθεν δ' ἐπιβαλεῖτε ξυστίδα. Β. Ἄπολλον. Α. εἶτα χόνδρον αὐτῷ δεύσετε[ln_5]γάλακτι

book 90.2 χηνός. Β. Ἡράκλεις. Α. καὶ τοὺς πόδας ἀλείψετ' αὐτοῦ τῷ Μεγαλλείῳ μύρῳ.

book 91-92.1 ἡμεῖς δ' οὐδέπω δεδείπναμεν.[ln_1]. . . . . . ὃν

book 91-92.2 χρὴ δεδειπνάναι πάλαι.

book 93.1 ἀγαπῶν

book 93.2 τε κἂν ἑψητὸν ἐν

book 93.3 τεύτλοις ἕνα διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἴδῃ.

book 94.1 τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω

book 94.2 τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα, ὃν

book 94.3 πρῶτον ἐκπίνουσι, τὸν δὲ δεύτερον ἔρωτος ἡδονῆς

book 94.4 τε, τὸν

book 94.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρίτον δ’ ὕπνου,[ln_5]ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι οἴκαδε βαδίζους’. ὁ δὲ τέταρτος οὐκ ἔτι ἡμέτερός ἐστ’, ἀλλ’ ὕβρεος· ὁ δὲ πέμπτος βοῆς· ἕκτος δὲ κώμων· ἕβδομος δ’ ὑπωπίων· ὁ δ’ ὄγδοος κλητῆρος· ὁ δ’ ἔνατος

book 94.6 χολῆς·[ln_10]δέκατος δὲ μανίας, ὥστε καὶ βάλλειν

book 94.7 ποιεῖ· πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον

book 94.8 χυθεὶς ὑποσκελίζει ῥᾷστα

book 94.9 τοὺς

book 94.10 πεπωκότας.

book 95.1 πρῶτον μὲν ὅταν ἐμοί τι θύωσίν

book 95.2 τινες, αἷμα, κύστιν, μὴ καρδίαν μηδ’ ἐπιπόλαιον. οὐκ ἐγὼ γὰρ ἐσθίω γλύκιον οὐδὲ μηρίαν.

book 96.1 Ἑρμῆς ὁ Μαίας λίθινος, ὃν

book 96.2 προσεύγμασιν ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον—

book 97 κοχῶναι

book 98.1 μὰ Δί’ οὐχὶ περιπεπλασμέναι

book 98.2 ψιμυθίοις, οὐδ’ ὥσπερ ὑμεῖς

book 98.3 συκαμίνῳ τὰς γνάθους κεχριμέναι. κἂν ἐξίητε

book 98.4 τοῦ θέρους, ἀπὸ τῶν μὲν ὀφθαλμῶν ὑδρορρόαι δύο[ln_5]ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς ἐπὶ τὸν

book 98.5 τράχηλον ἄλοκα μιλτώδη

book 98.6 ποιεῖ, ἐπὶ τῷ προσώπῳ δ’ αἱ τρίχες

book 98.7 φορούμεναι εἴξασι

book 98.8 πολιαῖς, ἀνάπλεῳ ψιμυθίου.

book 99.1 [spk_β]στεφάνους ἴσως βούλεσθε· πότερ’ ἑρπυλλίνους ἢ μυρτίνους ἢ τῶν διηνθημένων; Β. τῶν μυρτίνων βουλόμεθα

book 99.2 τουτωνί· σὺ δὲ τά γ’ ἄλλα πώλει πάντα

book 99.3 πλὴν τῶν μυρτίνων.

book 100 λῦε τἀλαβάστια θᾶττον σὺ καὶ τῇ σπαθίδι τὸν πώγωνά μου καὶ τὴν ὑπήνην μύρισον.

book 101 εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

book 102.1 Αἰγυπτίῳ ψάγδανι

book 102.2 τρὶς λελουμένη

book 103.1 εὔχρων

book 103.2 τι κιλλόν, μανθάνεις, θερίστριον

book 104.1 ὦ μάκαρ ἥτις ἔχους’ ἐν δωματίῳ . . στρούθιον ἀεροφόρητον λεπτότατον

book 104.2 περὶ σῶμα

book 104.3 συνίλλεταί τε ἡδυπότατον

book 104.4 περὶ νυμφίον εὔτριχα[ln_5]κισσὸς ὅπως καλάμῳ περιφύεται αὐξόμενος ἔαρος ὀλολυγόνος ἔρωτι κατατετηκώς.

book 105.1 Αἰγίδιον, σὺ δὲ τόνδε

book 105.2 φορήσεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 105.3 στέφανον

book 105.4 πολυποίκιλον ἀνθέων, γρυπότατον, χαριέστατον, ὦ Ζεῦ. τίς γὰρ αὐτὸν ἔχουσα

book 105.5 φιλήσει.

book 106.1 νὴ τὸν Δί’ ἠσθένουν γάρ, ὦ βέλτιστε σύ, φαγοῦσα

book 106.2 πρῴην σῦκα τῆς μεσημβρίας.

book 107.1 ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄρρενι θῆλυς, οἰκείων ἀνέμων

book 107.2 ταμίας, δασύς, ἄλλοτε λεῖος, ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων. ἓν δ’ ἐστὶν καὶ πολλά, καὶ ἂν

book 107.3 τρώσῃ τις ἄτρωτος.

book 107.1 [ln_5][spk_β]τί ἐστι

book 107.2 τοῦτο; τί ἀπορεῖς; Β. Καλλίστρατος. Α. πρωκτὸς μὲν οὖν οὗτος. Β. σὺ δὴ ληρεῖς ἔχων. Α. οὗτος γὰρ αὐτός ἐστιν ἄγλωττος, λάλος, ἓν ὄνομα

book 107.3 πολλοῖς, τρωτός, ἄτρωτος, δασύς, λεῖος· τί βούλει; πνευμάτων

book 107.4 πολλῶν φύλαξ.[ln_9]. . . . . . . . . . . . . .[ln_10]ἀττελεβόφθαλμος, μὴ πρόστομος, ἀμφικέφαλλος, αἰχμητής, παίδων ἀγόνων γόνον ἐξαφανίζων. ἰχνεύμων Αἰγύπτιος. τῶν γὰρ κροκοδείλων οὗτος ᾠὰ λαμβάνων, πρὶν θηριοῦσθαι τὸν γόνον καταγνύει,

book 107.1 [ln_15]ἔπειτ’ ἀφανίζει· διότι δ’ ἔστ’ ἀμφίστομος; κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσιν δάκνει. [ln_16]. . . . . . . . . . . . . . οἶδ’ ἐγὼ ὃς νέος ὢν ἐστὶν βαρύς, ἂν δὲ γέρων ᾖ, ἄπτερος ὢν κούφως πέτεται καὶ γῆν ἀφανίζει. πάππος ἀπ’ ἀκάνθης· οὗτος γὰρ[ln_20]νέος μὲν ὢν ἕστηκεν ἐν τῷ σπέρματι· ὅταν δ’ ἀποβάλῃ τοῦτο, πέτεται κοῦφος ὢν δήπουθεν, ὑπὸ τῶν

book 107.2 παιδίων

book 107.3 φυσώμενος.

book 107.1 [ln_22]. . . . . . . . . . . . . . ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνός, εἰς πόδας ἐκ κεφαλῆς

book 107.2 τετρημένον, ὀξὺ διαπρό,[ln_25]ἀνθρώπους τίκτον κατὰ τὴν

book 107.3 πυγὴν ἕν’ ἕκαστον· ὧν οἱ μὲν μοίρας ἔλαχον βίου, οἱ δὲ πλανῶνται, αὐτὸ δ’ ἕκαστος ἔχων αὐτόν, καλέω δὲ φυλάττειν.

book 108.1 ἐν θαλάμῳ μαλακῶς κατακείμενον· ἐν δὲ κύκλῳ νιν

book 108.2 παρθενικαὶ τρυφεραὶ χλανίσιν μαλακαῖς κατάθρυπτοι τὸν πόδ’ ἀμαρακίνοισι μύροις

book 108.3 τρίψουσι τὸν ἐμόν.

book 109.1 προσγελῶσά τε λοπὰς

book 109.2 παφλάζει βαρβάρῳ λαλήματι, πηδῶσι δ’ ἰχθῦς ἐν μέσοισι

book 109.3 τηγάνοις.

book 110.1 μὴ πολυτελῶς, ἀλλὰ καθαρείως ὅ τι ἂν ᾖ, ὁσίας ἕνεκα, σηπίδι’ ἢ τευθίδια, πλεκτάνια μικρὰ πουλύποδος, νῆστίν

book 110.2 τινα, μήτραν, χόρια, πυόν, λάβρακος κρανίον[ln_5]εὐμέγεθες.

book 111.1 καρῖδάς

book 111.2 τε τῶν κυφῶν.

book 112.1 ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ’ εἰς δόμους, εὐθὺς ἀνεκλίνετο· παρῆν

book 112.2 στέφανος ἐν τάχει· ᾔρετο

book 112.3 τράπεζα. παρέκειθ’ ἅμα

book 112.4 τετριμμένη μᾶζα

book 112.5 χαριτοβλέφαρος.

book 113 μύστακα

book 114 καὶ γὰρ ὁ ταῶς διὰ τὸ σπάνιον θαυμάζεται.

book 115.1 καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν ἄνθρωπόν ἐστ’ ἄνθρωπον, ἂν ἔχῃ βίον, ἢ χῆνα

book 115.2 πλατυγίζοντα καὶ κεχηνότα, ἢ στρουθόν, ἢ πίθηκον, ἐπίβουλον κακόν.

book 116-117.1 κακὸς κακῶς ἀπόλοιθ’ ὅστις γυναῖκα δεύτερος ἔγημε· τὸν γὰρ

book 116-117.2 πρῶτον οὐκ ἐρῶ κακῶς· ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ, ὁ δ’ οἷον ἦν γυνὴ κακὸν

book 116-117.3 πεπυσμένος. . . . . . . . . . . . ὦ Ζεῦ πολυτίμητ’, εἶτ’ ἐγὼ κακῶς

book 116-117.4 ποτε ἐρῶ γυναῖκας; νὴ Δί’ ἀπολοίμην ἄρα, πάντων ἄριστον κτημάτων. εἰ δ’ ἐγένετο κακὴ γυνὴ Μήδεια, Πηνελόπη δέ γε μέγα

book 116-117.5 πρᾶγμ’. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή· Ἄλκηστιν ἀντέθηκα

book 116-117.6 χρηστήν. ἀλλ’ ἴσως

book 116-117.7 Φαίδραν ἐρεῖ κακῶς

book 116-117.8 τις· ἀλλὰ νὴ Δία

book 116-117.9 χρηστὴ τίς ἦν μέντοι, τίς; οἴμοι δείλαιος, ταχέως γέ μ’ αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,

book 116-117.1 τῶν δ’ αὖ πονηρῶν ἔτι λέγειν

book 116-117.2 πολλὰς ἔχω.

book 118 τὰ κυλικεῖα δὲ ἐξεῦρεν ἡμῖν.

book 119.1 εἰσὶν ἡμῖν τῶν κεκλημένων δύο ἐπὶ δεῖπνον ἄμαχοι, Φιλοκράτης καὶ Φιλοκράτης. ἕνα γὰρ ἐκεῖνον ὄντα δύο λογίζομαι μεγάλους . . . . . . μᾶλλον δὲ τρεῖς. ὅν

book 119.2 φασί ποτε κληθέντ’ ἐπὶ δεῖπνον

book 119.3 πρὸς φίλου

book 119.4 τινὸς εἰπόντος αὐτῷ τοῦ φίλου, ὁπηνίκ’ ἂν εἴκοσι

book 119.5 ποδῶν μετροῦντι τὸ στοιχεῖον ᾖ, ἥκειν, ἕωθεν αὐτὸν εὐθὺς ἡλίου μετρεῖν ἀνέχοντος, μακροτέρας δ’ οὔσης ἔτι πλεῖν ἢ δυοῖν

book 119.6 ποδοῖν

book 119.7 παρεῖναι τῆς

book 119.8 σκιᾶς, ἔπειτα φάναι, μικρὸν ὀψιαίτερον δι’ ἀσχολίαν ἥκειν, παρόνθ’ ἅμ’ ἡμέρᾳ.

book 120.1 ἰχθὺν δ’ Ὅμηρος ἐσθίοντ’ εἴρηκε

book 120.2 ποῦ τίνα τῶν Ἀχαιῶν; κρέα δὲ μόνον ὤπτων, ἐπεὶ ἕψοντά γ’ οὐ πεποίηκεν αὐτῶν οὐδένα. ἀλλ’ οὐδὲ μίαν ἄλλην ἑταίραν εἶδέ τις αὐτῶν, ἑαυτοὺς δ’ ἔδεφον ἐνιαυτοὺς δέκα. πικρὰν

book 120.3 στρατείαν δ’ εἶδον, οἵτινες πόλιν μίαν λαβόντες εὐρυπρωκτότεροι

book 120.4 πολὺ τῆς πόλεος ἀπεχώρησαν, ἧς εἷλον τότε.

book 121-122.1 [spk_a]Α. θὲς ἑπτάκλινον. Β. ἑπτάκλινος οὑτοσί. Α. καὶ πέντε κλίνας

book 121-122.2 Σικελικάς. Β. λέγ’ ἄλλο

book 121-122.3 τι. Α. Σικελικὰ προσκεφάλαια πέντε. (Β. πέντ’, ἰδού. Α. καὶ πέντε

book 121-122.4 τρίποδας.) Β. τρίποδες οὗτοι πέντε

book 121-122.5 σοι. Α. καὶ πέντε— Β. πεντηκοστολόγος γενήσομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 124-125.1 [spk_β]Θάσιον ἢ Χῖον λαβὼν ἢ Λέσβιον γέροντα νεκταροσταγῆ. Β. ἄτοπον δὲ τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεὶ παρὰ ταῖς ἑταίραις τὸν

book 124-125.2 παλαιόν, ἄνδρα δὲ[ln_5]μὴ τὸν

book 124-125.3 παλαιόν, ἀλλὰ τὸν νεώτερον.

book 126 Σίκων ἐγὼ βεβρεγμένος ἥκω καὶ κεκωθωνισμένος. Β. πέπωκας οὗτος; Α. ναὶ μὰ Δία, πέπωκ’ ἐγὼ Μενδαῖον.

book 127 γύναι, ῥάφανόν με νομίσας’ εἰς ἐμὲ σὺ τὴν κραιπάλην μέλλεις ἀφεῖναι πᾶσαν, ὡς ἐμοὶ δοκεῖς.

book 128.1 κόκκον λαβοῦσα κνίδιον ἢ τοῦ πεπέριδος

book 128.2 τρίψας’ ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.

book 129 πολλοί, φυγόντες δεσπότας, ἐλεύθεροι ὄντες πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην.

book 130.1 αὐτοῖς δὲ τοῖς θεοῖσι τὴν κέρκον μόνην καὶ μηρὸν ὥσπερ

book 130.2 παιδερασταῖς θύετε.

book 131 ὁ Λευκάδιος πάρεστι καὶ μιλίττιος οἰνίσκος οὔπω πότιμος.

book 133.1 καὶ μὴν οἴκαδε

book 133.2 πολλοστιαῖος ἀποτρέχω, γύναι.

book 134.1 ταῖς ξυστίσιν

book 134.2 ταῖς

book 134.3 χρυσοπάστοις

book 134.4 στόρνυται.

book 136 ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον.

book 137 φηγούς, κάρυα Καρύστια

book 138.1 οἶνον γάρ με ψίθιον γεύσας ἡδὺν ἄκρατον, διψῶντα λαβὼν ὄξει

book 138.2 παίει

book 138.3 πρὸς τὰ στήθη.

book 139.1 οὗτοι ἀνιπτόποδες

book 139.2 χαμαιευνάδες ἀερίοικοι, ἀνόσιοι λάρυγγες, ἀλλοτρίων κτεάνων

book 139.3 παραδειπνίδες, ὦ λοπαδάγχαι λευκῶν ὑπογαστριδίων.

book 140.1 προανάσυρμα

book 140.2 παρθένου

book 141 ἀπορησία

book 142 γλωττοκομεῖον

book 143 δεδιυῖα

book 144 εὐκερματεῖν

book 145 ἱστόπους

book 146 νωδός

book 147 σικύαν

book 148 Στήνια

book 149 τοκάδα

book 150.1 Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται ὀπτᾶν

book 150.2 τε τυροῦ Χερρονησίτου τόμον, ἕψειν τ’ ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην, πνίγειν
book 150.3 τε παχέων ἀρνίων
book 150.4 στηθύνια,[ln_5]τίλλειν
book 150.5 τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις, ὁμοῦ τε
book 150.6 χναύειν μαινίσιν
book 150.7 σηπίδια, πιλοῦν
book 150.8 τε πολλὰς
book 150.9 πλεκτάνας ἐπιστρεφῶς, πίνειν
book 150.10 τε πολλὰς κύλικας εὐζωρεστέρας.
book 151.1 ἐπεὶ δὲ σηκῶν
book 151.2 περιβολὰς ἠμείψαμεν, ὕδωρ
book 151.3 τε ποταμοῦ σῶμα διεπεράσαμεν, [καὶ] ἡμῶν δὲ πᾶσα δύναμις ὑδάτων ἄρδεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org